ἰωνικὸς ἀπὸ μείζονος / ἀπ᾽ ἐλάσσονος ῥυθμός

Arist. Qvint. *de mus.* I 15 (p. 35. 13 sqq. Winnington-Ingram) κατὰ δὲ συζυγίαν, ὧν ὁ μὲν ἀπὸ μείζονος ἰωνικός, ὁ δ᾽ ἀπ᾽ ἐλάσσονος καλεῖται, καὶ ὁ μὲν ἀπὸ μείζονος συνίσταται ἐξ ἁπλοῦ σπονδείου καὶ προκελευματικοῦ δισήμου, ὁ δὲ ἐναντίως ... (24 sqq.) ἰωνικὸς δὲ (*scil.* ἐκλήθη) διὰ τὸ τοῦ ῥυθμοῦ φορτικόν, ἐφ᾽ ᾧ καὶ οἱ Ἴωνες ἐκωμῳδήθησαν.

Anon. *de trag.* 5. 52 sqq. (p. 30 Perusino) καὶ καθ᾽ ὅλον εἰπεῖν Εὐριπίδης πολυειδέστερός ἐστι τῶν πρὸ αὐτοῦ καὶ πολυχρούστερος, καὶ ἐχρήσατο δὲ καὶ τοῖς προσήκουσι ῥυθμοῖς, καὶ βακχείοις ἁπλοῖς τε καὶ διπλοῖς καὶ τῷ ἀπ᾽ ἐλάττονος (ἐπελάττονος *cod.*, *corr. Winnington-Ingram*) ἰωνικῷ καὶ ἐπ᾽ ὀλίγον προκελευσματικῷ. [*P.S.*]